**Armas de Zeus, Plutón y Poseidón. Dominios de cada uno de ellos.**

**NOTAS**

Κύκλωψ, -ωπος ὁ *Cíclope*

Τιτάνες, -άνων οἱ *Titanes*

Πλούτων, -ωνος ὁ *Plutón*

Τάρταρος, -ου ὁ *Tártaro*

διακληρόω *echar la suerte* (acerca de algo o sobre algo)

ἀρχή, -ῆς ἡ *poder*

Καὶ **Κύκλωπες** τότε Διὶ μὲν διδόασι βροντὴν καὶ ἀστραπὴν καὶ κεραυνόν, **Πλούτωνι** δὲ κυνέην, Ποσειδῶνι δὲ τρίαιναν· οἱ δὲ τούτοις ὁπλισθέντες κρατοῦσι **Τιτάνων**, καὶ καθείρξαντες αὐτοὺς ἐν τῷ **Ταρτάρῳ** τοὺς ἑκατόγχειρας κατέστησαν φύλακας. αὐτοὶ δὲ **διακληροῦνται** περὶ τῆς ἀρχῆς, καὶ λαγχάνει Ζεὺς μὲν τὴν ἐν οὐρανῷ δυναστείαν, Ποσειδῶν δὲ τὴν ἐν θαλάσσῃ, Πλούτων δὲ τὴν ἐν Ἅιδου.